31. PLUCKING GRAIN ON A SABBATH (Matt-Lk Identicals)

| Matt 12:1-8 | Luke 6:1-5 |
|---|---|
| Ἐν ἐκείνῳ τῷ καιρῷ | Ἐγένετο δὲ |
| ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασιν | ἐν σαββάτῳ διαπορεύεσθαι αὐτὸν |
| διὰ τῶν σπορίμων· | διὰ σπορίμων, |
| οἱ δὲ μαθηταὶ αὐτοῦ | καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ |
| ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν | |
| στάχυας καὶ ἐσθίειν. | καὶ ἤσθιον τοὺς στάχυας ψώχοντες ταῖς χερσίν. |
| 2 οἱ δὲ Φαρισαῖοι ἰδόντες | 2 τινὲς δὲ τῶν Φαρισαίων |
| εἶπαν αὐτῷ, | εἶπαν, |
| Ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν | Τί ποιεῖτε |
| ὃ οὐκ ἔξεστιν ποιεῖν ἐν σαββάτῳ. | ὃ οὐκ ἔξεστιν τοῖς σάββασιν |
| | 3 καὶ ἀποκριθεὶς |
| 3 ὁ δὲ εἶπεν αὐτοῖς, | πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς, |
| Οὐκ ἀνέγνωτε | Οὐδὲ τοῦτο ἀνέγνωτε |
| τί ἐποίησεν Δαυὶδ | ὃ ἐποίησεν Δαυὶδ |
| ὅτε ἐπείνασεν | ὅτε ἐπείνασεν αὐτὸς |
| καὶ οἱ μετ αὐτοῦ | καὶ οἱ μετ αὐτοῦ ὄντες |
| 4 πῶς εἰσῆλθεν | 4 ὡς εἰσῆλθεν |
| εἰς τὸν οἶκον τοῦ θεοῦ | εἰς τὸν οἶκον τοῦ θεοῦ |
| καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγον, | καὶ τοὺς ἄρτους τῆς προθέσεως λαβὼν ἔφαγεν |
| | καὶ ἔδωκεν τοῖς μετ αὐτοῦ, |
| ὃ οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν | οὓς οὐκ ἔξεστιν φαγεῖν |
| οὐδὲ τοῖς μετ αὐτοῦ, | |
| εἰ μὴ τοῖς ἱερεῦσιν μόνοις | εἰ μὴ μόνους τοὺς ἱερεῖς |
| 5 ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσιν καὶ ἀναίτιοί εἰσιν | |
| 6 λέγω δὲ ὑμῖν | 5 καὶ ἔλεγεν αὐτοῖς, |
| ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε. 7 εἰ δὲ ἐγνώκειτε τί ἐστιν, Ἔλεος θέλω καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους. | |
| 8 κύριος γάρ ἐστιν | Κύριός ἐστιν |
| τοῦ σαββάτου | τοῦ σαββάτου |

| Matt 12:1-8 | Luke 6:1-5 |
| --- | --- |
| *ὁ υἱὸς τοῦ ἀνθρώπου*. | *ὁ υἱὸς τοῦ ἀνθρώπου.* |

222 total words with 41 identicals = 18%